ἢ τὸν Εὐρώπας, Λυκίων ἀγὸν ἀνδρῶν;
που̂ σφαγίων ἔφοροι;
που̂ δὲ γυμνήτων μόναρχοι;
τοξοφόροι δὲ Φρυγῶν
ζεύγνυτε κερόδετα τόξα νευραῖς.

ΕΚ. τὰ μὲν ἀγγέλλεις δείματ' ἀκούειν,
τὰ δὲ θαρσύνεις, κοὐδὲν καθαρῶς·
ἀλλ' ἦ Κρονίου Πανὸς τρομερᾷ
μάστιγι φοβεῖ, φυλακὰς δὲ λιπὼν
κινεῖς στρατιάν; τί θροεῖς; τί σε φῶ
νέον ἀγγέλλειν; πολλὰ γὰρ εἰπὼν
οὐδὲν τρανῶς ἀπέδειξας.

ΧΟ. πυραίθει στρατὸς Ἀργόλας, ἀντ.
Ἕκτορ, πᾶσαν ἀν' ὄρφναν,
διϊπετῆ δὲ πυρσοῖς νεῶν σταθμά.
πᾶς δ' Ἀγαμεμνονίαν προσέβα στρατὸς
ἐννύχιος θορύβῳ σκηνάν,
νέαν τιν' ἐφιέμενοι
βάξιν. οὐ γάρ πω πάρος ὧδ' ἐφοβήθη
ναυσιπόρος στρατιά.
σοὶ δ' ὑποπτεύων τὸ μέλλον
ἦλυθον ἄγγελος, ὡς
μήποτ' ἐς ἐμέ τινα μέμψιν εἴπῃς.

ΕΚ. ἐς καιρὸν ἦλθες, καίπερ ἀγγέλλων φόβον·
ἄνδρες γὰρ ἐκ γῆς τῆσδε νυκτέρῳ πλάτῃ
λαθόντες ὄμμα τοὐμὸν αἴρεσθαι φυγὴν
μέλλουσι· σαίνει μ' ἔννυχος φρυκτωρία.
ὦ δαῖμον, ὅστις μ' εὐτυχοῦντ' ἐνόσφισας
θοίνης λέοντα, πρὶν τὸν Ἀργείων στρατὸν
σύρδην ἅπαντα τῷδ' ἀναλῶσαι δορί.
εἰ γὰρ φαεννοὶ μὴ ξυνέσχον ἡλίου
λαμπτῆρες, οὐκ ἂν ἔσχον εὐτυχοῦν δόρυ,
πρὶν ναῦς πυρῶσαι καὶ διὰ σκηνῶν μολεῖν
κτείνων Ἀχαιοὺς τῇδε πολυφόνῳ χερί.
κἀγὼ μὲν ἦν πρόθυμος ἱέναι δόρυ
ἐν νυκτὶ χρῆσθαί τ' εὐτυχεῖ ῥύμῃ θεοῦ·